λους, ὡς ἱκανοὶ ἰατροὶ ὄντες, ἐπεσκεπτόμεθα a) δή που ἂν ἔγωγε b) σὲ καὶ σὺ ἐμέ· Φέρε πρὸς θεῶν, αὐτὸς δὲ ὁ Σωκράτης πῶς ἔχει τὸ σῶμα πρὸς ὑγίειαν c); ἢ εἰ δή τις ἄλλος διὰ Σωκράτην ἀπηλλάγη νόσου, ἢ δοῦλος, ἢ ἐλεύθερος. κἂν ἐγὼ, οἶμαι, περὶ σοῦ ἕτερα τοιαῦτα ἐσκόπουν, καὶ εἰ μὴ εὑρίσκομεν d) δι' ἡμᾶς μηδένα βελτίω γεγονότα τὸ σῶμα, μήτε τῶν ξένων, μήτε τῶν ἀστῶν, μήτε ἄνδρα, μήτε γυναῖκα, πρὸς Διὸς, ὦ Καλλίκλεις, οὐ καταγέλαστον ἂν ἦν τῇ ἀληθείᾳ εἰς τοσοῦτον ἀνοίας ἐλθεῖν ἀνθρώπους, ὥστε πρὶν ἰδιωτεύοντας πολλὰ μὲν ὅπως ἐτύχομεν ποιῆσαι, πολλὰ δὲ κατορθῶσαι, καὶ γυμνάσασθαι ἱκανῶς τὴν τέχνην, τὸ λεγόμενον δὴ τοῦτο, ἐν τῷ πίθῳ τὴν κεραμείαν ἐπιχειρεῖν μανθάνειν, καὶ αὐτούς τε δημοσιεύειν ἐπιχειρεῖν e), καὶ ἄλλους τοιούτους παρακαλεῖν; οὐκ ἀνόητον σοὶ δοκῇ f) ἂν εἶναι οὕτω πράττειν; ΚΑΛ. Ἔμοιγε. ΣΩ. Νῦν δὲ, ὦ βέλτιστε ἀνδρῶν, ἐπειδὴ σὺ μὲν αὐτὸς ἄρτι ἄρχει g) πράττειν τὰ

a) Cod. Meerm. cum Baf. 2. ἐπεσκεψάμεθα. Ald. Baf. 1. ἐπεσκεψόμεθα. Stephan. ἐπισκεψώμεθα, quae lectio nec ipfi eius auctori placebat, ideoque vel ἐπεσκεπτόμεθα vel ἐπισκεψοίμεθα legi malebat. Nos ἐπεσκεπτόμεθα recipiendum duximus, quia Imperfectum παρεκαλοῦμεν cum particula ἂν praecedit, etiam Imperfectum ἐσκόπουν cum eadem particula fequitur.

b) Cod. vterque τὲ pro γε.

c) Cod. vterque πρὸς ὑγίειαν τὸ σῶμα.

d) Num ἂν excidit, an legendum est εὑρίσκοιμεν?

e) Ficinus: *et ipfi ad rempublicam accedentes.* Serranus: *et nos ipfi ad rempublicam accederemus.* Sed hic de arte medendi fermo eft.

f) Fortaffe δοκοίη fcribendum eft.

g) Cod. vterque ἄρχῃ ἄρτι.